ἐπιθυμήματα ὀφθαλμῶν ὑμῶν, καὶ ὑπὲρ ὧν φείδονται αἱ ψυχαὶ
ὑμῶν· καὶ οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν, οὓς ἐγκατελίπετε,
22 ἐν ῥομφαίᾳ πεσοῦνται. [22]καὶ ποιήσετε ὃν τρόπον πεποίηκα· ἀπὸ
στόματος αὐτῶν οὐ παρακληθήσεσθε καὶ ἄρτον ἀνδρῶν οὐ φά-
23 γεσθε, [23]καὶ αἱ κόμαι ὑμῶν ἐπὶ τῆς κεφαλῆς ὑμῶν, καὶ τὰ ὑποδή-
ματα ὑμῶν ἐν τοῖς ποσὶν ὑμῶν· οὔτε μὴ κόψησθε οὔτε μὴ κλαύ-
σητε καὶ ἐντακήσεσθε ἐν ταῖς ἀδικίαις ὑμῶν καὶ παρακαλέσετε
24 ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ. [24]καὶ ἔσται Ιεζεκιηλ ὑμῖν εἰς τέρας·
κατὰ πάντα, ὅσα ἐποίησεν, ποιήσετε, ὅταν ἔλθῃ ταῦτα· καὶ ἐπι-
25 γνώσεσθε διότι ἐγὼ κύριος. — [25]καὶ σύ, υἱὲ ἀνθρώπου, οὐχὶ ἐν
τῇ ἡμέρᾳ, ὅταν λαμβάνω τὴν ἰσχὺν παρ᾽ αὐτῶν, τὴν ἔπαρσιν τῆς
καυχήσεως αὐτῶν, τὰ ἐπιθυμήματα ὀφθαλμῶν αὐτῶν καὶ τὴν ἔπαρ-
26 σιν ψυχῆς αὐτῶν, υἱοὺς αὐτῶν καὶ θυγατέρας αὐτῶν, [26]ἐν ἐκείνῃ
τῇ ἡμέρᾳ ἥξει ὁ ἀνασῳζόμενος πρὸς σὲ τοῦ ἀναγγεῖλαί σοι εἰς
27 τὰ ὦτα; [27]ἐν ἐκείνῃ τῇ ἡμέρᾳ διανοιχθήσεται τὸ στόμα σου πρὸς
τὸν ἀνασῳζόμενον, καὶ λαλήσεις καὶ οὐ μὴ ἀποκωφωθῇς οὐκέτι·
καὶ ἔσῃ αὐτοῖς εἰς τέρας, καὶ ἐπιγνώσονται διότι ἐγὼ κύριος.
25 [1]Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων [2]Υἱὲ ἀνθρώπου, στή-
ρισον τὸ πρόσωπόν σου ἐπὶ τοὺς υἱοὺς Αμμων καὶ προφήτευσον
3 ἐπ᾽ αὐτοὺς [3]καὶ ἐρεῖς τοῖς υἱοῖς Αμμων Ἀκούσατε λόγον κυρίου
Τάδε λέγει κύριος Ἀνθ᾽ ὧν ἐπεχάρητε ἐπὶ τὰ ἅγιά μου, ὅτι ἐβε-
βηλώθη, καὶ ἐπὶ τὴν γῆν τοῦ Ισραηλ, ὅτι ἠφανίσθη, καὶ ἐπὶ τὸν
4 οἶκον τοῦ Ιουδα, ὅτι ἐπορεύθησαν ἐν αἰχμαλωσίᾳ, [4]διὰ τοῦτο ἰδοὺ
ἐγὼ παραδίδωμι ὑμᾶς τοῖς υἱοῖς Κεδεμ εἰς κληρονομίαν, καὶ κατα-
σκηνώσουσιν ἐν τῇ ἀπαρτίᾳ αὐτῶν ἐν σοὶ καὶ δώσουσιν ἐν σοὶ
τὰ σκηνώματα αὐτῶν· αὐτοὶ φάγονται τοὺς καρπούς σου, καὶ
5 αὐτοὶ πίονται τὴν πιότητά σου. [5]καὶ δώσω τὴν πόλιν τοῦ Αμμων
εἰς νομὰς καμήλων καὶ τοὺς υἱοὺς Αμμων εἰς νομὴν προβάτων·
6 καὶ ἐπιγνώσεσθε διότι ἐγὼ κύριος. [6]διότι τάδε λέγει κύριος Ἀνθ᾽
ὧν ἐκρότησας τὴν χεῖρά σου καὶ ἐπεψόφησας τῷ ποδί σου καὶ
7 ἐπέχαρας ἐκ ψυχῆς σου ἐπὶ τὴν γῆν τοῦ Ισραηλ, [7]διὰ τοῦτο ἐκ-
τενῶ τὴν χεῖρά μου ἐπὶ σὲ καὶ δώσω σε εἰς διαρπαγὴν ἐν τοῖς
ἔθνεσιν καὶ ἐξολεθρεύσω σε ἐκ τῶν λαῶν καὶ ἀπολῶ σε ἐκ τῶν
χωρῶν ἀπωλείᾳ· καὶ ἐπιγνώσῃ διότι ἐγὼ κύριος.

22 ποιησετε] -σω A† | πεποι.] εποιησα A | ου bis] + μη A | φαγησθαι(pro -θε) A† || 23 ουτε $1^{0}$] ου A | κλαυσητε] -σθητε A(†): cf. 16 || 24 εποιησεν Q] -σατε B*†, -σα ABc || 25 ισχυν] + αυτων A (in *O* sub ※) | ψυχης] pr. της A || 26 fin.] + σου A || 27 εκεινη / τη ημ. (cf. 26)] tr. A = 𝔐 | και $1^{0}$ > B†, $2^{0}$ > A† | λαλησεις] ερεις A†

25 3 κυριος B*L*] pr. αδωναι A: item in 8. 12. 13. 15. 16, cf. 24 3 | εβεβηλωθη] + σαν A pau. | του ult. > A || 4 εν $1^{0}$] συν A† || 5 νομην] pr. προ A pau. || 6 κυριος] + ο θεος A: cf. 14 6 | τας χειρας A || 7 εκτενω] pr. ιδου εγω A (in *O* sub ※)